οὐκ ἠπήτριαν, Erot. 19,19 καὶ οἱ Ἀττικοὶ τὰς ῥαφίδας ἀκεστρίας καλοῦσι, παρὰ τὸ ἀκεῖσθαι καὶ ὑγιῆ ποιεῖν τὰ ἱμάτια, cf. sch. Hom. (DbT) ad X 2, unde Orio 12,5 (et 611,35 Werfer, post Et. Gud.), ex quo Et. Gud. 70,12 Stef. et Et. Gen. (B) (unde EM 50, 5), Σ (Ba. 53,27; Phot. 59,23 R.) et sch. Luc. 258,11 (Arethas), unde EM 46,31. ἠπηταί apud Xen. Inst. Cyri 1,6,16 praebent codd. CAEGRH, ἀκεσταί vero codd. DF (qui cum P. Oxy. 697 [saec. II p. Chr. n.] et cum Prisciano Stobaeoque fere conspirant, cf. Marchant, praef. ad Xen. Inst. Cyri editionem p. IXsq., A. W. Persson, Zur Textgeschichte Xenophons, Londinii Gothorum 1915, 146sq.) et Σ (Ba. 53,27; Phot. 59,23 R). Itaque et Orum vel fontem eius hoc loco ἀκεσταί legisse veri simile est (cf. etiam quae ad fr. A 50 annotavi).

79

θεριῶ καὶ κομιῶ καὶποριῶ καὶ ὁριῶ καὶ πάντα τὰ εἰς ζω βαρύτονα
καὶ ὑπὲρ δύο συλλαβὰς βραχυνόμενον τὸ ι ἔχοντα, ἐν τῷ μέλλοντι ἄνευ
τοῦ σ ἐκφέρουσιν Ἀττικοί· τὰ γοῦν ὁριστικὰ καὶ ἀπαρέμφατα· τὰ δὲ
ὑποτακτικὰ οὐδαμῶς· σολοικισμὸς γὰρ τὸ 'ἐὰν θεριῶ' καὶ 'ἐὰν κομιῶ'.
5 ἐφ' ὧν δὲ τὸ ι ἐκτείνεται, καὶ σὺν τῷ σ ὁ μέλλων λέγεται χρόνος, καὶ
ἐκτεινομένης τῆς παρεσχάτης συλλαβῆς, οἷον· δανείζω, δανείσω, οὐκέτι
δὲ τὸ δανειῶ, βάρβαρον οὕτως· ὥστε καὶ τοὺς Ἀθηναίους φασὶν
ἀθρόους εἰς ἐκκλησίαν συναθροισθέντας ἐπὶ τῶν διαδόχων, ἐπειδὴ εἰς
ἀπορίαν καθειστήκεσαν χρημάτων, ἔπειτά τις αὐτοῖς τῶν πλουσίων
10 ὑπισχνεῖτο ἀργύριον, οὕτω πως λέγων, ὅτι 'ἐγὼ ὑμῖν δανειῶ', θορυβεῖν
καὶ οὐκ ἀνέχεσθαι λέγοντος διὰ τὸν βαρβαρισμὸν καὶ οὐδὲ λαβεῖν τὸ
ἀργύριον ἐθέλειν· ἕως αἰσθανόμενος ὁ μέτοικος ἢ καὶ ὑποβαλόντος
αὐτῷ τινος ἔφη· 'δανείσω ὑμῖν τοῦτο τὸ ἀργύριον'· τότε δ' ἐπαινέσαι
καὶ λαβεῖν. διὰ τοῦτο βαδίσω καὶ βαδιῶ ἀμφότερα δόκιμα, ἐπεὶ καὶ
15 αὐτὸ τὸ ἐνεστηκὸς ἑκατέρως λέγεται καὶ ἐκτεινομένου καὶ συστελλομένου τοῦ ἐν τῇ μέσῃ συλλαβῇ ι· οὐκέτι δὲ ἀγορῶ, οὐδὲ κολῶ· οὐδὲ
γὰρ ὅλως τῷ ι παραλήγει.

Σ (Phot 85,13; Suid. θ 242)
1 ποριῶ Suid.: παριῶ Phot. 8 ἀθρόους Suid.: ἀθρόως Phot. 9 καθειστήκεσαν Phot.: καθεστήκεσαν Suid. 11 λέγοντος Suid.: λέγοντας Phot. 15 ἑκατέρως Suid.: ἑκατέρας Phot. 16 συλλαβῇ ι Porson–Dobree: συλλαβηῖ Phot., συλλαβῇ Suid. 17 τῷ Suid. (cf. Hrd. II 926,19): τὸ Phot.

Phryn. P. S. 54,9 βαδιοῦμαι ἀντὶ τοῦ ἀπελεύσομαι, id. 97,3 ὁλοκαυτίζω, ἐξ οὗ ὁλοκαυτιῶ ὁ Ἀττικὸς μέλλων et 104,13 πολεμιῶ· Ἀττικόν, ἀπὸ τοῦ πολεμίζω, Moer. 192,26 βαδίζειν Ἀττικοί, βραχέως Ἕλληνες, id. 193,13 βαδιοῦμαι βαδιεῖ βαδιεῖται καὶ τὰ ὅμοια Ἀττικοί, Hrd. Π. τῶν ζητ. 260,3 (= p. 316 Herm.) ἁμαρτάνουσι οἱ λέγοντες ἐκτεταμένως βαδίζειν, δέον λέγειν συνεσταλμένως βαδίζειν κτλ., Hrd. Philet. 230 τῶν δὲ διὰ τοῦ ιζω ῥημάτων τῶν ὑπὲρ δύο συλλαβὰς τοὺς μέλλοντας κατὰ περιγραφὴν τοῦ ζ λέγουσιν οἱ Ἀττικοί· οἷον κομίζω κομιῶ, κιθαρίζω κιθαριῶ, λακωνίζω λακωνιῶ. πρόσκειται (scripsi, πρόκειται codd., Dain) 'ὑπὲρ δύο συλλαβάς', διὰ τὸ πρίζω, κτίζω, 'διὰ τοῦ ιζω' δὲ διὰ τὸ κατάζω, πελάζω † καὶ τῶν ὁμοίων † (debuit καὶ τὰ ὅμοια)· ταῦτα γὰρ ὁμοίως ἡμῖν προφέρονται (scripsi, προσφ. codd., Dain). ἀπὸ μέντοι τοῦ δανείζω οὐκέτι δανειῶ (scripsi, δανείω codd., Dain) λέγουσιν, οὐδὲ δανειοῦμαι, ἀλλὰ δανείσω καὶ δανείσομαι, Choerob.

comm. in Theod. II 154,27 τὰ δὲ διὰ τοῦ ζ ἐκφερόμενα κατὰ τὸν ἐνεστῶτα ὑπὲρ δύο συλλαβὰς ὄντα διὰ τοῦ σ ἐκφέρονται κατὰ τὸν μέλλοντα, οἷον συρίζω συρίσω ... βαδίζω βαδίσω ... δανείζω δανείσω, id. 155,18 ἰστέον δὲ ὅτι ἐπὶ τῶν διὰ τοῦ ιζω ὑπὲρ δύο συλλαβὰς τῶν διὰ τοῦ ι γραφομένων εἰώθασιν οἱ Ἀθηναῖοι ἀποβάλλειν τὸ σ κατὰ τὸν μέλλοντα καὶ περισπᾶν, οἷον γεμίζω, γεμίσω, γεμιῶ ... βαδίζω, βαδίσω, βαδιῶ, id. 157,1 ἰστέον δὲ ὅτι ἐπὶ τοῦ δανείζω δανείσω οὐ ποιοῦσιν οἱ Ἀθηναῖοι ἀποβολὴν τοῦ σ κατὰ τὸν μέλλοντα καὶ περισπῶσιν κτλ. De „coniunctivo futuri" cf. Choerob. comm. in Theod. II 289,2 ἰστέον ὅτι τὰ ὑποτακτικὰ τοῦ ἀορίστου καὶ μέλλοντος κανονίζονται ἐκ τοῦ ἀορίστου καὶ οὐκ ἐκ τοῦ μέλλοντος· καὶ τοῦτο δείκνυμεν διὰ τριῶν αἰτιῶν ... (11) δευτέρα δὲ αἰτία ἐστὶν αὕτη ἡ ἐκ τῶν Ἀττικῶν· οἱ γὰρ Ἀθηναῖοι ἐπὶ τῶν διὰ τοῦ ιζω ῥημάτων, τῶν διὰ τοῦ ι γραφομένων τῶν ὑπὲρ δύο συλλαβάς, ἔθος ἔχουσιν ἀποβάλλειν τὸ σ κατὰ τὸν μέλλοντα καὶ περισπᾶν ...· εἰ ἄρα οὖν τὸ ὑποτακτικὸν 'ἐὰν λακτίσω' καὶ 'ἐὰν συρίσω' λέγουσιν, καὶ οὐκ 'ἐὰν λακτιῶ καὶ 'ἐὰν συριῶ, δηλονότι ἐκ τοῦ ἐλάκτισα καὶ ἐσύρισα ἀορίστου γέγονεν, καὶ οὐκ ἐκ τοῦ λακτιῶ καὶ συριῶ μέλλοντος. – cf. Fritz, Synesius 51sq., Nachmanson 158sq., Croenert 225, Blass–Debrunner § 74,1, Boehlig, Unters. 82.

80

ἰατρίνη

Eust. 859,50 ἰστέον δὲ καί, ὅτι τὸν ἰητῆρα οἱ μεθ' Ὅμηρον ἰητρόν τε λέγουσι καὶ ἰατρόν, καὶ ὅτι οὐ μόνον κατὰ γένος ἀρσενικὸν ἰατρός, ἀλλὰ καὶ θηλυκῶς. φησὶ γοῦν Αἴλιος Διονύσιος (ι 1) ἰατρὸν γυναῖκα, Ἄλεξις δὲ ἰατρίαν (fr. 318). ἡ δὲ ἰατρίνη οὐχ Ἑλληνικόν, φησί. παρὰ δὲ τοῖς τεχνικοῖς κεῖται καὶ ὅτι ὁ μὲν Ὦρος οὐχ Ἑλληνικὴν λέξιν τὴν ἰατρίνην εἶναί φησιν, Ἀλέξανδρος δὲ ὁ Κοτιαεὺς (Ritschl, cf. Steph. Byz. 379,6, sch. Hom. A 1 i, N 358–9 etc.: κοττυαεὺς Eust.) πρὸς ἀκρίβειαν λαλῶν μὴ Ἀττικὴν εἶναι αὐτὴν λέγει.
Ori voc. Attic. collect. tribuit Ritschl, De Oro et Orione 42 (= opusc. I 627sq.); cf. praef. p. 81sqq.

---

cf. Lobeck, Phryn. p. 651.

81

κακκάβην δεῖ λέγειν, οὐχὶ κάκκαβον.

Σ (Ba. 266,24; Phot. 124,25); Phrynicho tribuit Erbse, Unters. p. 59 (qui in nota ad Ael. κ 4 Σ e Phryn. ecl. hausisse censet, quo quidem libro Σ usa non est); potius Ori est, qui Phrynichum ex Aelio pendentem expressit.
κακκάβην Phot.: κακκάβη Ba. | κάκκαβον Phot.: κάκκαβος Ba. | post finem add. Phot. σημαίνει δὲ τὴν χύτραν, alio ex fonte, ut videtur (fort. Diogen., cf. Hsch.)

Additamentum ad Cyr. in cod. Laur. 59, 49 κακκάβη⟨ν⟩ δεῖ λέγειν, οὐχὶ κάκκαβον (cf. praef. p. 85), Ael. D. κ 4 (Σ [Phot. 125,1], cf. Eust. 1390,51 et 872,14 ... ἡ χύτρα, ἣ καὶ κακκάβη ..., ἣ καὶ ἀρσενικῶς κάκκαβος λέγεται κτλ. [= Ael. D. fr. 217 Schwabe]) κακκάβη· ὃν ἡμεῖς κάκκαβον. ἔστι δὲ ⟨σκεῦος add. Erbse⟩ λοπαδῶδες ἔχον ἐξ ἑαυτοῦ τρεῖς πόδας, Phryn. ecl. 400 F. = 398 R. κάκκαβον· διὰ τοῦ η κακκάβην λέγε, τὸ γὰρ διὰ

τοῦ ο ἀμαθές. καὶ γὰρ Ἀριστοφάνης ἐν Δαιδάλῳ (fr. 197) διὰ τοῦ η χρῆται, Antiatt. 104, 33 κακκάβην· Ἕρμιππος Δημόταις (fr. 20), Moer. 200, 11 κακκάβη Ἀττικοί, κάκκαβος Ἕλληνες. Hsch. κ 313 κακκάβη· κρίκον. ἡ χύτρα, ἣν ἡμεῖς κάκκαβον, Cyr. κακ 36 κακκαβος· χαλκειον (A); Poll. 10, 106 κακκάβην τὴν λοπάδα ἐρεῖς . . . καὶ κάκκαβον δὲ τὴν κακκάβην κατὰ τὴν τῶν πολλῶν χρῆσιν Ἀντιφάνης (fr. 182) κέκληκεν κτλ. cf. Orio 87, 26 et 88, 1 (Philox. fr. 249 tribuit Theodoridis), e quo Et. Gen. (AB et cod. Cretensis in Et. Gud. 293, 1 Sturz et apud Gaisford ad EM p. 1388 D [Paris. gr. 2636] et Vatic. gr. 1708), unde EM 485, 1, Zon. 1154 (hanc etymologici glossam Oro falso attribuit Ritschl, opusc. 1, 601 sq.): κακκάβη (EM, Zon.: κακάβη AB)· σκεῦος πρὸς ἕψησιν ἐπιτήδειον. παρὰ τὸ κάπτω ῥῆμα τὸ δηλοῦν τὸ κοιλαίνω, ἀφ' οὗ ῥηματικὸν ὄνομα (κύριον add. B) κάβη, καὶ κατὰ ἀναδιπλασιασμὸν καὶ πλεονασμὸν τοῦ κ κάκκαβος (AB, Zon.: κακκάβη EM). ἀναλογώτερον δὲ θέλουσι λέγειν ἡ κάκκαβος θηλυκόν· τὸ γὰρ ἀρσενικὸν παντελῶς ἀδόκιμον. οὕτως Ὠρίων (cf. praef. p. 9 sq.), Ath. 4, 169 c τὴν χύτραν δ' Ἀριστοφάνης ἐν Σκηνὰς Καταλαμβανούσαις κακκάβην εἴρηκεν οὕτως· „τὴν κακκάβην γὰρ κᾶε τοῦ διδασκάλου" (fr. 479) κἀν Δαιταλεῦσι· „κἄγειν ἐκεῖθεν κακκάβην" (fr. 215). Ἀντιφάνης δ' ἐν Φιλοθηβαίῳ· „. . . κακκάβης . . ." (fr. 217, 3). cf. Lobeck ad Phryn. 427 sq.

82

καλὸς κἀγαθός· λέγεται κατὰ συναλιφήν, οὐχὶ καλὸς καὶ ἀγαθός.

Σ (Phot. 128, 12; Suid. κ 251)
συναλιφήν Porson–Dobree (cf. Uhlig ad Apoll. Dysc. Synt. p. 194, 14; P. Maas, B.ph.W. 26, 1906, 925), συναλειφήν Phot., συναλοιφήν Suid.

---

cf. Hellad. ap. Phot. bibl. p. 529 b 32 ὅτι καλὸς καὶ ἀγαθὸς οἱ Ἀττικοὶ λέγοντες ἀγαθὸς καὶ καλὸς οὐ λέγουσι· καίτοι λέγοντες ἀγαθὴ τύχη λέγουσι καὶ τύχη ἀγαθή.

83

κατὰ χειρὸς ὕδωρ λέγουσιν, οὐ κατὰ χειρῶν οὐδ' ἐπὶ χεῖρας, οὐδὲ ἄλλως πως· καὶ τὸ ῥᾷστον πάντων καὶ εὐχερέστατον κατὰ χειρὸς ὕδωρ καλοῦσιν. οὕτως Τηλεκλείδης ἐν Ἀμφικτύοσιν (fr. 1, 2)·
„εἰρήνη μὲν πρῶτον ἁπάντων ἦν ὥσπερ ὕδωρ κατὰ χειρός."

Σ (Phot. 144, 19; Suid. κ 863)
4 χειρός Suid. (et Telecl. ap. Ath. 6, 268 b): χειρῶν Phot.

De discrimine inter κατὰ χειρός et ἀπονίψασθαι vide supra ad fr. B 37.
Phryn. ecl. 299 F. = 300 R. κατὰ χειρῶν δεινῶς ἀνελλήνιστον, καὶ τὸ ἐπὶ χειρῶν δέ· μεστὴ γὰρ ἡ κωμῳδία τοῦ κατὰ χειρός, Moer. 201, 30 κατὰ χειρὸς Ἀττικοί, κατὰ χειρῶν Ἕλληνες, Ath. 9, 408 e ἡ πλείων δὲ χρῆσις κατὰ χειρὸς ὕδωρ εἴωθε λέγειν, ὡς Εὔπολις . . . καὶ Ἀμειψίας . . . Ἀλκαῖός τε . . . πλεῖστον δ' ἐστὶ τοῦτο. Φιλύλλιος δὲ ἐν Αὔγῃ κατὰ χειρῶν εἴρηκεν οὕτως (sequitur fr. 3). Μένανδρος ἐν Ὑδρίᾳ (fr. 405)· „οἱ δὲ κατὰ χειρῶν λαβόντες περιμένουσι φίλτατοι". cf. Nauck, Ar. Byz. p. 252.

84

κατ' ὄναρ· οὐ χρὴ λέγειν· βάρβαρον γὰρ παντελῶς· ἀλλὰ ὄναρ καὶ κατὰ τοὺς ὕπνους καὶ ἐνύπνιον.

Σ (Phot. 149,25; Suid, κ 1086)

Phryn. ecl. 396 F. = 395 R. κατ' ὄναρ· Πολέμων ὁ Ἰωνικὸς σοφιστὴς Δημοσθένους τοῦ ῥήτορος εἰκόνα χαλκῆν ἐν Ἀσκληπιοῦ τοῦ ἐν Περγάμῳ τῇ Μυσίᾳ ἀναθεὶς ἐπέγραψεν ἐπίγραμμα τοιόνδε· „Δημοσθένη Παιανιέα Πολέμων κατ' ὄναρ", ἀδοκιμωτάτῳ τῷ κατ' ὄναρ χρησάμενος· ὥσπερ γὰρ καθ' ὕπαρ οὐ λέγεται, ἀλλ' ὕπαρ, οὕτως οὐδὲ κατ' ὄναρ, ἀλλ' ἤτοι ὄναρ ἰδὼν ἢ ἐξ ὀνείρου ὄψεως κτλ., unde Thom. 259,7. cf. Lobeck ad Phryn. p. 422sqq., Bauer 1127 s. v. ὄναρ.

85

κλῑσίον

Voc. Attic. collectionis glossa primigena recuperari nequit, inde fluxit: Ori Orth. apud Choerob. Orth. in Et. Gen. (B, cod. ex quo Et. Gudiani cod. Cretensis interpolatus est [Vatic. gr. 1708, Et. Gud. 328,28 Sturz]; varias lectiones nisi potiores non notavi), unde EM 520,15 et Et. Sym. (F, V apud Gaisford., app. p. 1483 F sq.): κλισίον (Cret.: κλισιον supra prius ι scripto ει EM cod. D, Sym.: κλεισίδιον B)· σημαίνει τόπον (B: σημαίνει τὸν τόπον EM: τόπος Cret., ὁ τόπος Sym.), ἔνθα (Cret., EM: ὅπου B: ἐν ᾧ Sym.) ἵστανται τὰ ζεύγη. ὁ μὲν τεχνικὸς (Hrd. II 415,21) διὰ τῆς ει διφθόγγου γράφει (Cret., EM: γράφει om. B, διφθόγγου γράφει om. Sym.), ὁ δὲ Ὦρος (Ἡρωδιανὸς EM) διὰ τοῦ ι λέγων ὅτι (B, Cret., EM: om. Sym.) παρὰ τὸ (ἐκ τοῦ Sym.) κλίνω ἔστι τὸ σημαῖνον τὸ περιέχω καὶ ἐκεῖθεν κλίσις ἡ περιέχουσα καὶ ἐκεῖθεν κλίσιον ὑποκοριστικόν. τοῦτο παρὰ μὲν Ὁμήρῳ συστέλλει (Cret., EM, Sym.: καὶ συστ. B) τὸ ι καὶ προπαροξύνεται, οἷον· „περὶ δὲ κλίσιον θέε πάντη" (ω 208). τὰ γὰρ διὰ τοῦ ια παρώνυμα τριβραχέα προπαροξύνονται· στόμα, στόμιον, θρόνος, θρόνιον, πτύξ, πτυχός πτύχιον. οὕτως οὖν καὶ κλίσις κλίσιον. παρὰ δὲ τοῖς Ἀττικοῖς ἐκτείνει τὸ ι καὶ παροξύνεται. τὰ γὰρ διὰ τοῦ ιον παρώνυμα δακτυλικὰ πρὸ μιᾶς τὸν τόνον ἔχουσιν· ὡς, ὠτός, ὠτίον, (EM: ὠτὸς ὠτίον B: ὡς τὸ ὠτίον Cret.) κλείς, κλειδός, κλειδίον. Χοιροβοσκός. (Χοιρ. B: om. reliqui). Verba τὰ γὰρ διὰ τοῦ ια – κλίσιον et τὰ γὰρ διὰ τοῦ ιον – κλειδίον non Ori sunt, sed Choerobosci, cf. eius Ep. in Ps. 143,23sqq.

Eust. 1957,53 παρὰ μέντοι Ἀττικοῖς τὸ κλίσιον ἁμαξῶν καὶ ζευγῶν ἐστὶ δεκτικόν, ὃ λέγεται τοὺς Ῥωμαίους παρὰ τὴν στάσιν σταῦλον (i. e. stabulum) καλεῖν. Δίωνι μέντοι τῷ καλῷ τὴν γλῶσσαν (Dio. Chrysost. 40 p. 488 C., cf. Eust. 1165,52) δοκεῖ κλίσιον εἶναι τὸν σταθμὸν τῶν προβάτων, ὁποία ἡ κοινῶς λεγομένη σκεπαστή. ἐν δὲ ῥητορικοῖς λεξικοῖς (fr. 231 Schwabe), παρ' οἷς καὶ διὰ διφθόγγου καὶ διὰ μόνου δὲ διχρόνου ἡ τῆς λέξεως ἄρχουσα εὕρηται, κεῖνται καὶ ταῦτα· κλείσιον, θυρεὼν ἐν ᾧ καὶ ζεύγη ἵσταται (Paus. Attic. κ 35 trib. Erbse) . . . Αἴλιος δὲ Διονύσιος κλεισίον φησὶν ὡς κλειδίον, καὶ ὅτι θυρὼν τοῦτο μέγας, καὶ κλεισίαι αἱ τούτου θύραι πλατεῖαι καὶ εἰς τὸ ἐκτὸς ἀνοιγόμεναι (= Ael. D. κ 28 Erbse). ἐν ἑτέρῳ δὲ γράφει, ὅτι κλίσιον Ἀμερίας (ap. O. Hoffmann, Die Makedonen, ihre Sprache und ihr Volkstum, Gottingae 1906, p. 4) τὸ προστῷον ἴσως (ἴσως del. Erbse) παρὰ Ἴωσιν, ὡς καὶ Ὅμηρος· „περὶ δὲ κλείσιον θέε πάντη" (ω 208)· παρὰ δὲ Ἀττικοῖς κλεισίον (κλείσιον Eust.) ὁ μέγας θυρών. καὶ μή ποτέ, φησιν, τοῦτο μὲν ἐκτείνεται καὶ παροξύνεται, ἐκεῖνο δὲ συστέλλεται καὶ προπαροξύνεται

(= Ael. D. κ 30; cf. Erbse, Unters. p. 30sq., ubi non recte Et. Gen. gl. κλισίον Orioni pro Oro tribuitur), cf. Poll. 9,50 σταθμὸς δ' ἂν καλοῖτο ἡ τῶν ὑποζυγίων στάσις, καὶ κλείσιον παρὰ τὸ κεκλεῖσθαι· ἀφ' οὗ καὶ αἱ θύραι κλεισιάδες; id. 4,125 τὸ δὲ κλισίον ἐν κωμῳδίᾳ παράκειται παρὰ τὴν οἰκίαν, παραπετάσματι δηλούμενον. καὶ ἔστι μὲν σταθμὸς ὑποζυγίων, καὶ αἱ θύραι αὐτοῦ μείζους δοκοῦσι, καλούμεναι κλισιάδες, lex. Patm. 142 = 152 LGM κλισίον· τὸ οἴκημα, τὸ μεγάλας ἔχον θύρας ἐν τῇ ἀγορᾷ, Moer. 201,17 κλισιάδες αἱ δίθυροι πύλαι Ἀττικοί, κλίσια δὲ ὅπου τὰ ζεύγη ἵστατο, Zon. 1220 κλείσιον· ἐν ᾧ ἵστανται οἱ βόες. κλίσον δὲ, ἔνθα οἱ θρόνοι ἵστανται, ι (e lex. Ambr., cf. Suid. κ 1759, brevius; Ambr. e Diogeniano, cf. Hsch. κ 3017 κλισίον· πανδοχεῖον, ἢ βάσις, ἐφ' ᾗ τίθεται ὁ θρόνος). cf. Ap. S. 100,19 (Apio fr. 49 Neitzel) et Dorotheus Ascalonita (qui totum librum Περὶ τοῦ παρ' Ὁμήρῳ κλισίου conscripsit; cf. Erbse, Beitr. z. Überl. d. Iliasscholien, Zetemata 24, 1960, 52) ap. Porphyrium in sch. B ad I 90 = Quaest. Hom. ad Odyss. pertin. reliqu., ed. Schrader (Lipsiae 1890) p. 132–134. Cf. Pierson ad Moer. p. 228sq.

86

κυνοκέφαλ⟨λ⟩ον· ἐν τοῖς δύο λλ λέγουσιν. οὕτως Ἀριστοφάνης (Equ. 416).

Σ (Phot. 188,11)
1 κυνοκέφαλλον Naber: κυνοκέφαλον cod., κυνοκεφάλῳ codd. Ar., metri gratia corr. Dindorf (cf. etiam Kock ad loc.)

ἐν τοῖς: cf. praef. p. 65.
Phryn. P.S. 85,5 κυνοκέφαλλος· διὰ τῶν δυοῖν λλ οἱ Ἀττικοί.

87

κωλῆν λεκτέον, οὐχὶ ἀκροκώλιον, οὐδὲ κωλεόν. οὕτως Ἀριστοφάνης (v. test.).

Σ (Phot. 196,11)
1 κωλῆν scripsi (cf. Hrd., Π. μον. λέξεως II 911,17): κωλὴν cod. (cf. Ar. Nub. 1019, ubi κωλὴν μεγάλην vitiose codd., Suid. κ 2236 [e sch. Ar. Plut. 1128], ubi codd. male κωλή)

λεκτέον: cf. fr. A 72.
Ap. Ar. exstat his locis: Nub. 988. 1019; Plut. 1128; fr. 224. fr. 434. Ath. 9,368d καὶ κωλῆνα δὲ λέγουσι καὶ κωλῆν. Εὔπολις Αὐτολύκῳ (fr. 47)· „σκέλη δὲ καὶ κωλῆνες εὐθὺ τοὐρόφου", Εὐριπίδης Σκίρωνι (fr. 677)· „οὐδὲ κωλῆνες νεβρῶν". ἀπὸ δὲ τοῦ κωλέα συνηρημένον ἐστὶν ὡς συκέα συκῆ, λεοντέα λεοντῆ, κωλέα κωλῆ. Ἀριστοφάνης Πλούτῳ δευτέρῳ (1128)· „οἴμοι δὲ κωλῆς, ἣν ἐγὼ κατήσθιον" κτλ. Contra formam κωλῆνα tantum commendat Phryn. ecl. 53 F. = 60 R. κωλύφιον μὴ λέγε, κωλῆνα δέ, cf. Poll. 2,193 τὸ δ' ἐκ μηροῦ τε καὶ κνήμης κῶλον καὶ κωλῆνα, id. 5,70 κωλῆνα σαρκώδη, id. 6,52 κωλῆνες ἑφθοί, ἀκροκώλια δίεφθα (Teleclides fr. 48), Ath. 9,366a (quorum verborum sensum esse non solum τὴν κωλῆν, sed etiam τὸν κωλεόν dixisse veteres recte intellexit Schweighaeuser. Athenaei sententiam plane pervertit epitomes auctor). cf. Meisterhans – Schwyzer § 48,20.

88

λάγνης· οὐ λάγνος ὑπὸ τῶν Ἀττικῶν λέγεται.
„τοιαῦτα μέντοι πολλὰ ἀναγκαίως ἔχει
πάσχειν ὅταν λάγνην τὸν ὀφθαλμὸν φορῇς."
(fr. com. adesp. 388, immo Ar., v. testes). ἡ δὲ ἀναλογία, οἶμαι, καὶ
5 λάγνητα, ὡς Κράτητα καὶ Μάγνητα.

Σ (Phot. 201, 15)
3 πάσχειν Porson – Dobree: παρασχεῖν cod.

Glossae auctor anomaliae sectator fuisse videtur, cf. praef. p. 65.
Phryn. ecl. 155 F. = 161 R. λάγνης διὰ τοῦ η, ἀλλὰ μὴ λάγνος φαθί, Hrd. Philet. 228 λάγνος ἐπὶ τῶν ἀνδρῶν. οὕτως Ἀριστοφάνης (an Ar. Byz.?)· παρά τισι λάγνης κτλ., cf. Suet., Π. βλασφ. 18 Taill. = 414, 5 Mill.; Poll. 6, 188 ὁ δ' ἐπ' ἀφροδισίοις μαινόμενος λάγνης ἂν καὶ λάγνος ῥηθείη, Cyr. λαγ 5 λαγνης· καταφερης προς τα αφροδισια (AS), unde Hsch. λ 57, Suid. λ 19 (e lex. Ambros.) λάγνης· ἀρσενικῶς ἀντὶ τοῦ ὁ λάγνος. (Cyrilli glossa primigena erat: λάγνης· . . . ἀφροδίσια. Ταγηνισταῖς; titulum servavit Cyrilli codicum familia v, in qua quidem glossae duae λάγνος· πόρνος, αἰσχρός [= Cyr. λαγ 8, cod. A] et λάγνης [λαγ 5] in unam glossam contractae sunt [λαγ 3]: v. Latte, Kl. Schr. 671 sq., qui fr. com. adesp. in textu allatum probabiliter ad Aristophanis Tagenistas revocavit; Cyrilli glossa interpolatione depravata in Σ (iam Σ^{a}) et inde in Phot. 201, 19 et Suid. λ 20 recepta est). De analogia accusativum λάγνητα postulante cf. Choerob. comm. in Theod. I 161, 19 sq.: τὸ δὲ . . . καὶ Μάγνης Μάγνητος καὶ Ἴγνης Ἴγνητος ἔχουσιν ἄφωνον πρὸ ἀμεταβόλου καὶ κοινὴν τὴν συλλαβὴν ἔχουσιν, καὶ ὡς ἔχοντα κοινὴν τὴν συλλαβὴν τῷ λόγῳ τῶν ἰαμβικῶν (cf. Theod. can. masc. III p. 5, 21 – 6, 5) διὰ τοῦ τος ἐκλίθησαν. τὸ δὲ λάγνης λάγνου, εἰ καὶ ἔχει ἄφωνον πρὸ ἀμεταβόλου, εἰς τὴν ου δίφθογγον ἔχει τὴν γενικὴν κτλ. (i. e. λάγνης λάγνου analogiam offendit), id. 164, 14 σημειούμεθα ἐν τούτῳ τῷ κανόνι τὸ λάγνης λάγνου ὦ λάγνα παρ' Εὐβούλῳ ἐν Κορυδαλλῷ (fr. 55) κτλ.

89

λαμπρὰν ἡμέραν λέγουσιν, οὐ καθαράν.

Σ (Phot. 206, 19; Suid. λ 95)

Philemo 395, 12 R. λαμπρὰν ἡμέραν, οὐχὶ καθαράν, unde Thom. 220, 7 λαμπρὰ ἐσθής, κάλλιον λέγειν ἢ λευκή. λαμπρὰ ἡμέρα, οὐ καθαρά.

90

λεωργόν· ἐν τῷ ω καὶ Ἀττικοὶ καὶ Ἴωνες· καὶ Ξενοφῶν (Mem. 1, 3, 9)· „θερμουργότατον καὶ λεωργότατον". Δωριεῖς δὲ διὰ τοῦ ου, λεουργόν.

Σ (Phot. 218, 18)

ἐν τῷ: cf. praef. p. 65.
Poll. 3,134 τὸ γὰρ λεουργὸς παρὰ Ξενοφῶντι φορτικόν, Hsch. λ 791 λεωργόν· κακοῦργον. πανοῦργον. ἀνδροφόνον. Cyr. λεω 10 λεωργος· πανουργος. αδικος (S), cf. Suid. λ 274.

91

λήμματα λέγουσι, λή⟨μ⟩ψομαι δὲ οὐκέτι. οἱ μέντοι Δωριεῖς φυλάσσουσι τὴν ἀναλογίαν τοῦ λή⟨μ⟩ψομαι.

Σ (Phot. 220,13)
1 et 2 λήμψομαι Cobet (Mnemosyne 8, 1859, 30), λήψομαι bis cod.

ἀναλογία: i.e. οἱ Ἀττικοὶ τὴν ἀ. οὐ φυλάττουσι, i.e. „ἀνώμαλοί εἰσι καὶ ἐν τούτῳ" (cf. fr. A 6 a), praef. p. 65.
Antiatt. 106,25 λῆμμα καὶ ἀνάλωμα κτλ., Hrd. Philet. 142 διαφέρει λῆμα καὶ λῆμμα· τὸ μὲν γὰρ δι' ἑνὸς μ τὴν παράστασιν τῆς ψυχῆς σημαίνει· τὸ δὲ διὰ τῶν δύο τὸ λαμβανόμενον, similiter Amm. 299, cf. Exc. Hrd. 58, AP IV 249,13, Lucian., soloec. 5 p. 168,18 εἰπόντος δέ τινος, 'λῆμμα πάρεστιν αὐτῷ', διὰ τῶν δύο μ, 'οὐκοῦν', ἔφη, 'λήψεται, εἰ λῆμμα αὐτῷ πάρεστιν' (cf. schol. ad loc. p. 38,2 λῆμα γὰρ ἡ ἀνδρεία δι' ἑνὸς μ), Moer. 202,17 λῆμμα διὰ δύο μ τὸ θάρσος, διὰ δὲ τοῦ ἑνὸς τὸ λαμβανόμενον, ἀδιαφόρως Ἕλληνες (cf. Pierson ad loc. p. 245sq.). cf. Croenert 66sqq., Nachmanson 158.

92

λύγξ· οὐχὶ λυγμὸς καλεῖται ὑπὸ τῶν Ἀττικῶν.

Σ (Phot. 236,16)
λύγξ Naber: λύξ cod. (cf. Bethe ad Poll. 4,185 p. 256,11)

Poll. 2,103 ἀρρωστήματα δὲ τῶν ἐντὸς στόματος βὴξ καὶ λὺγξ καὶ βράγχος κτλ., Hsch. λ 1341 λύγξ· τὸ πάθος ὁ λυγμός. κτλ., Cyr. (Hsch. λ 1342) λύγξ· τὸ πάθος ἐμποδίζον τῷ λέγοντι, cf. Hsch. λ 1340; Thom. 226,1 λύγξ· ὅπερ ἐστὶ κάλλιον τοῦ λυγμός.

93

μὰ Δία· οὐκ ἐπὶ τοῦ νὴ Δία ἔλεγον, ὡς οἴονταί τινες, ἐχρῶντο δὲ αὐτῷ ἀντὶ τοῦ ⟨οὐ⟩ μὰ Δία ὥσπερ καὶ τῷ νὴ Δία ἐπὶ τῷ ναὶ ⟨μὰ Δία⟩· ὅθεν καὶ τὸ ναὶ Δία λέγουσι καὶ ναὶ μὰ Δία.

Σ (Phot. 240,17; Suid. μ 31)
1 νὴ Δία Cobet (Mnem. 8, 1859, 33): μὰ τὸν Δία Phot., Suid. | ἔλεγον Phot.: λέγων Suid. **2** τοῦ Suid.: om. Phot. | οὐ suppl. Cobet | τῷ bis Suid.: τὸ bis Phot. | μὰ Δία suppl. Cobet **3** τὸ Phot.: om. Suid. | ναὶ μὰ Δία Suid.: να Phot.

Σ (Phot. 239,7; Suid. μ 1) = Ael. D. μ 1 μά· ἀντὶ τοῦ 'οὐ μά' (μά – μά Phot., μά Suid.). τοῦτο Ὅμηρος ὡς συλλαβῆς τάξιν ἔχον τίθησι. ποτὲ μέντοι ἀντὶ τοῦ 'μὰ' (μὰ Σ: ναὶ coni. Erbse) τῷ 'ναὶ' (ναὶ Σ: ναὶ ⟨μὰ⟩ Erbse) χρῆται . . . ἡμεῖς δὲ τὸ 'μὰ' ὡς μέρος λόγου ἀπομνύντες παραλαμβάνομεν 'μὰ τὸν Δία' λέγοντες. ἔστι δὲ καὶ ἐπίρρημα ἐπευκτικόν, cf. Ap. S. 109,25 (unde Hsch. μ 1), Ael. D. ν 12 (Eust. 1450,42; Phot. 299,16; Suid. ν 350) 'νὴ τὸν' καὶ 'ναὶ μὰ τόν'· κατωμοτικὰ ταῦτα. ἀπωμοτικὰ δὲ τὸ 'μὰ τὸν' καὶ 'οὐ μὰ τόν', ὥστε ἐσχάτη ἀκυρολογία τὸ λέγειν 'μὰ τὸν Δία ποίησον', sch. DA in A 86 οὐ μὰ γάρ] ἡ οὐ ἀπωμοτικῶς. πεπλεόνακε (D, πλεόνακε A) δὲ (A, γὰρ τὸ οὐ D) κατὰ Ἀττικὴν συνήθειαν, cf. sch. Thuc. 3,36,4; sch. D in A 234 ναὶ μὰ τόδε σκῆπτρον· ναὶ μὰ τοῦτο τὸ σκῆπτρον. πεπλεόνακε τὸ μὰ ἀρνητικόν, ἤγουν ἀπωμοτικὸν μόριον κατὰ Ἀττικὸν ἔθος. ἤρκει γὰρ εἰπεῖν 'νὴ τοῦτο τὸ σκῆπτρον' κτλ., Thom. 240,17 ὅταν τεθῇ τὸ μά, ἢ προσκειμένην ἔχει τὴν ἄρνησιν ἢ νοουμένην . . . ὅταν μέντοι προηγούμενον ἔχῃ τὸ ναί, τὴν ἰσχὺν ἅπασαν ἔχει τὸ ναὶ κτλ., Suid. ν 299 νὴ Δία· μὰ τὸν Δία, cf. Dion. Thr. 84,4sq., sch. Dion. Thr. 101,20; 282,1; 434,7–23; 563,34 – 564,4. cf. Gomme – Sandbach, Menander. A Commentary, Oxonii 1973, 160. 204, Wyse ad Isaeum 3,25,1 (p. 306), Croenert 201, Kuehner – Gerth 2,148.

94

μαλακὸς καὶ μαλθακός· ἑκατέρως. Θουκυδίδης δὲ ἄνευ τοῦ θ. καὶ μαλακίζεσθαι, οὐχὶ μαλθακίζεσθαι.

Σ (Phot. 243,26); propter locum Thucydidis laudatum Ael. D. (μ 4) tribuit Wentzel, Hermes 30, 1895, 378, quem secutus est Erbse. Glossae auctor anomaliae sectator fuisse videtur.

---

cf. praef. p. 65.
cf. Croenert 317; de μαλακίζεσθαι cf. Lobeck ad Phryn. 389sq. μαλθακίζεσθαι e. g. Eur. Med. 291.

95

μαλάχη· οὐ μολόχη· παρ' οὐδενὶ γὰρ κεῖται. εἴρηται δὲ διὰ τὴν μαλακότητα.

Σ (Phot. 244,4)

Moer. 203,27 μαλάχη Ἀττικοί, μολόχη Ἕλληνες, formam μαλάχη solam commendat Poll. 1,247; 6,46. cf. Cyr. (Hsch. μ 166) μαλάχη· μολόχη, epitoma Athenaei 2,58d μαλάχαι· Ἡσίοδος (op. 41) 'οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ'. τοῦτο Ἀττικόν. „ἐγὼ δέ, φησιν (sc. Ath.), ἐν πολλοῖς ἀντιγράφοις εὗρον τοῦ Ἀντιφάνους Μίνωος (fr. 158) διὰ τοῦ ο γεγραμμένον· 'τρώγοντες μολόχης ῥίζαν', καὶ Ἐπίχαρμος (fr. 153) '. . . πραΰτερος ἔγωγε (ἐγών γα Kaibel) μολόχας' κτλ." (unde Eust. 1406,57). Mire μαλάχη κοινόν, μολόχη Ἀττικῶν esse contendit Nicephorus Gregoras, cf. Chr. Fr. Matthaei, Glossaria graeca minora I (Mosquae 1774) 4.

96

μᾶλλον ⟨μᾶλλον⟩· οὕτως λέγουσιν ἄνευ τοῦ 'καὶ' συνδέσμου. οὕτω Μένανδρος (fr. 872).

Σ (Phot. 244,21)
1 ⟨μᾶλλον⟩ suppl. Porson – Dobree

Antiatt. 108,5 unde (textum pleniorem servans) Σ (Phot. 244,23; Suid. μ 115) μᾶλλον μᾶλλον· ἀντὶ τοῦ ἀεὶ καὶ μᾶλλον· Ἄλεξις Ἀτθίδι (fr. 29)· „πῶς ἐπινεφεῖ (ἐπινέφει Cobet) τὸ πρῶτον ὁ Ζεὺς ἡσυχῇ, ἔπειτα μᾶλλον μᾶλλον". Ἀναξίλας Ὥραις (fr. 32), Ἄλεξις Πεζονίκῃ (fr. 181), cf. Antiatt. 108,7 μεῖζον μεῖζον, μικρὸν μικρόν· ἀντὶ τοῦ ἀεὶ κατὰ μικρόν. Ἀντιφάνης Ἀγροίκῳ (fr. 10) et 108,9 μίαν μίαν· ἀντὶ τοῦ κατὰ μίαν. Σοφοκλῆς Ἔριδι (fr. 201 R.), cf. Pearson ad loc.

97

μεθῆκεν καὶ ἐμέθηκεν· λέγουσιν ἑκατέρως· μᾶλλον δὲ μεθῆκεν· τὸ γοῦν μεθέηκεν Ἰακὸν καὶ παλαιόν.

Σ (Phot. 252,12)
1 ἐμέθηκεν] μεθέηκεν Naber, perperam: cf. fr. A 6a 2 μεθέηκεν Naber: ἐμέθηκεν Phot., cf. Hom. Ρ 539, Ψ 434, Ω 48

μᾶλλον: cf. fr. A 30.
cf. supra fr. A 6 et formam ἐσυνῆκε (v. praef. p. 133 n. 4) et Kuehner – Blass 2, 214.

98

μελάγχρως καὶ μελαγχρής· ἀμφότερα Ἀττικά, μᾶλλον δὲ διὰ τοῦ η. Κρατῖνος (fr. 425)· ⟨***⟩.

Σ (Phot. 255,3)
1 μελαγχρής Naber: μελάγχρης Phot. 2 lac. statui

ἀμφότερα: cf. praef. p. 68. – μᾶλλον: cf. fr. A 30.
sch. π 175 (= Hrd. II 159,23) ἄψ δὲ μελαγχροιής· ὀξυτόνως. τοῦτο δὲ κατὰ συγκοπὴν Ἀττικοὶ μελαγχρής φασιν, ὡς Εὔπολις (fr. 430). καὶ τὸ οὐδέτερον Μένανδρος εἴρηκε (fr. 878)· „μελαγχρὲς μειράκιον" (unde Eust. 1799,16 et AP III 498,9), Moer. 203,22 μελάγχρως Ἀττικοί, μελαγχρὴς Ἕλληνες, Hrd. Philet. 234 εὔχρως καὶ λευκόχρως· μελαγχρὴς διὰ τοῦ η, Thom. 232,6 μελάγχρως μελαγχρῶτος. Εὐριπίδης ἐν Ὀρέστῃ (321)· „μελαγχρῶτες (ita etiam codd. Eur.: μελάγχρωτες edd.) Εὐμενίδες". οὐ μελάγχρους μελάγχρου. cf. Lobeck, Paralipom. Gramm. Graec. 256; id., Pathol. serm. Graec. elem. I 315; II 140; Bergk, Comm. de reliqu. comoed. Attic. 253.

99

μεμάχηται· οὐχὶ μεμάχεσται, καὶ μεμαχημένος, ο⟨ὐ⟩ μεμαχεσμένος.

Σ (Phot. 257, 12)
μεμάχεσται Porson – Dobree: μάχεσθαι cod. | οὐ Naber: ὁ cod.

μεμαχημένος: cf. e. g. Thuc. 7, 43, 7; Lys. 7, 41.

100

μέμψιν καὶ μομφήν· ἄμφω λέγουσιν.

Σ (Phot. 258, 8)

Antiatt. 107, 17 μομφή· ἀντὶ τοῦ μέμψις, cf. id. 107, 18 (unde Σ [Phot. 257, 26]) μόμφιν (cod. Coisl. 345: μέμφειραν Phot., quod ap. Antiatticistam scribendum)· ἀντὶ τοῦ μέμψιν. Τηλεκλείδης (fr. 62/63). cf. Eust. 1761, 40 λέγει ὁ αὐτὸς γραμματικὸς (i. e. Ar. Byz. p. 212 N.) καὶ μόμφον παρ' Εὐριπίδῃ (fr. 633) τὴν μέμψιν λεχθῆναι, ex Ar. Byz. Antiatt. 107, 19 μόμφον· ἀντὶ τοῦ μέμψιν. Εὐριπίδης Πλεισθένει (fr. 633); formam μέμψις solam commendat Poll. 3, 138 (cf. 6, 179); Cyr. μομ 1 μομφην· μεμψιν. καταγνωσιν (vg AS).

101

μέντοι· τὸ δὲ σὺν τῷ γε παρ' οὐδενὶ τῶν Ἑλλήνων.

Σ (Phot. 258, 19; Suid. μ 621)

παρ' οὐδενὶ τῶν Ἑλλήνων: cf. fr. A 12. 48.
cf. Lobeck ad Phryn. ecl. p. 342, Denniston, Greek Particles[2] 405. 409, R. A. Neil, The Knights of Aristophanes, Cantabrigiae 1901, 194 sq., J. Blomquist, Greek Particles in Hellenistic Prose, Londinii Gothorum 1969, 29 sqq. 44. 129.

102

μῦα· καὶ γράφεται καὶ λέγεται ἄνευ τοῦ ι καὶ δισυλλάβως παρὰ τοῖς Ἀττικοῖς.

Σ (Phot. 279, 6)
παρὰ τοῖς ἀττικοῖς scripsi (cf. fr. B 17): παρὰ τῶν ἀττικῶν cod.: ὑπὸ τῶν ἀττικῶν Naber

v. quae annotavi ad fr. A 81.

103

Ναυσικύδου· καὶ σὺν τῷ σ, καὶ τὰ ἄλλα τὰ ὅμοια διττῶς. Ἀριστοφάνης ⟨***⟩ (Eccl. 426).

Σ (Phot. 289,10)
2 lac. statui

τὰ ἄλλα τὰ ὅμοια: cf. praef. p. 66.
Ap. Ar. forma genetivi Ναυσικύδους traditur. cf. Choerob. comm. in Theod. I 156,5 καθόλου γὰρ τὰ εἰς δης πατρωνυμικὰ ἢ τύπου πατρωνυμικοῦ ὄντα εἰς τὴν ου δίφθογγον ἔχουσι τὴν γενικήν, πατρωνυμικὰ μὲν οἷον Ἀτρείδης Ἀτρείδου, Αἰακίδης Αἰακίδου . . ., τύπου δὲ πατρωνυμικοῦ οἷον Εὐριπίδης, Εὐριπίδου, Θουκυδίδης, Θουκυδίδου κτλ. cf. Meisterhans – Schwyzer § 48,1, Kuehner – Blass 1,512sq., Croenert 160sqq.

104

ναυττιᾶν· ἐν τοῖς δυσὶ τ λέγουσιν.

Σ (Phot. 290,10)
ταυ cod.: corr. Naber

ἐν τοῖς: cf. praef. p. 65.
Moer. 204,8 ναυττιᾶν ἐν τοῖς β′ ττ Ἀττικοί, ναυσιᾶν Ἕλληνες, Cyr. ναυ 2 ναυτιωσιν· ολιγορουσι, πενονται (g)

105

νεᾶν· οὐ νεοῦν τὴν γῆν· καὶ νεατὸν Ξενοφῶν (Oecon. 7,20), οὐ νέωσιν. Εὔπολις Αἰξίν (fr. 13)·
„ἐπίσταμαι γὰρ αἰπολεῖν, σκάπτειν, νεᾶν, φυτεύειν."

Σ (Phot. 290,20)

νεοῦν Poll. 1,222 (cf. 221); cf. Ar. Nub. 1117 (νεᾶν, sed νεοῦν codd. ΚΝΘ).

106

νεάτην· οὐχὶ νήτην λέγουσιν. καὶ παρανεάτην καὶ τρισνέατον. Κρατῖνος (fr. 134)· ⟨***⟩.

Σ (Phot. 291,14)
2 lac. statui

sch. Plat. rep. 443d (p. 226 Gr.) νεάτη ἤτοι νήτη ὑπερβολαίων ἡ ἐσχάτη χορδὴ τοῦ δὶς διὰ πασῶν συστήματος, cf. Corp. Paroem. Graec. append. cent. 4,3 (Prov. Bodl. 681 Gaisf.) = Hsch. ν 189, Suid. ν 119; Thom. 244,8 νήτη χορδή· οὐκ ἐσχάτη, sch. Soph. Aiac. 1185. cf. Σ (Ba. 306,26; Phot. 291,13; Suid. ν 118).

107

νικῴη, νικῷ

E Voc. Attic. collectione nescio an fluxerint, quae Orus praebet in Orth. (Lex. Mess. 406; cf. Rh. M. 50, 1895, 149): νικῴη· σὺν τῷ ι. Νικόμαχος Οἰδίποδι (de Nicomacho tragico Atheniensi cogitandum est [cf. TrGF 36 T 1 = Suid. ν 397], minus probabiliter Nicomacho Alexandrino tribuit Nauck [quem secutus est Snell, TrGF 127 F 7], Nicomacho comico Koerte, RE XVII, 1936, 462; cf. etiam Ed. Fraenkel ad Aesch. Agam. 121 p. 74) „ὅτι μὲν (μὴν Nauck) λῷστον, τόδε νικῴη". καὶ νικῶ δὲ χωρὶς τοῦ ι· τὸ εὐκτικὸν ἔχει τὸ ι. Κρατῖνος Διονύσοις (fr. 4 Demiańczuk)· „νικῷ (νικῶ cod.) μὲν ὁ τῇδε ποδὶ λέγω τὸν λῷστον" (πόλει λέγων τὸ λῷστον Radermacher); cf. Luppe, Wie lange las man noch Kratinoskomödien, Wiss. Zeitschr. Univ. Halle 16, 1967, 390: „Um zu zeigen, daß die 3. Person des Optativs eines Verbum contractum auf -άω (-άοι = -ῶι) mit iota adscriptum zu schreiben ist, wird unter dem Buchstaben N ein Kratinoszitat (4 D.) mit der Form νικῶι angeführt; ursprünglich diente das Zitat vermutlich als Beweis für die seltenere Optativform statt der gebräuchlicheren auf -ώιη." Orus, qui utramque formam 3. pers. optativi τῆς δευτέρας συζυγίας τῶν περισπωμένων probavisse videtur, fortasse scripserat νικῴη καὶ νικῷ· ἑκατέρως λέγεται. Νικόμαχος . . . καὶ Κρατῖνος . . . . cf. etiam Xen. Hell. 6,5,6 et Plat. leg. 658c. cf. Ori Orth. in Et. Gen. (AB) v. νικῴην (Oro attribuit Reitzenstein, Gesch. 58): νικῴην· νικῶ, νικᾷς, ἡ μετοχὴ νικῶν νικῶντος, τὸ εὐκτικὸν νικῷμι, τὸ τρίτον νικῷ καὶ πλεονασμῷ τοῦ η Ἀττικῶς νικῴη καὶ ἐξ αὐτοῦ νικῴην καὶ νικῴης. cf. Croenert 217 n. 2.

108

νώ, νῷν ⟨μονοσύλλαβα . . .⟩

Voc. Attic. collectionis glossa primigena recuperari nequit; inde fluxerunt:
a) Ori Orth. (Lex. Mess. 407) νώ· χωρὶς τοῦ ι, ἡ εὐθεῖα χωρὶς ὁμοίως τῇ αἰτιατικῇ· ὡς καὶ τὸ σφώ. ἀποκοπὴ γάρ ἐστιν, ἢ ὥς τινες διαφορὰ θέματος. Εὔπολις Μαρικᾷ (fr. 188)· „πεύσεσθε, νὼ γὰρ ἄνδρες οὐθ' ἱππεύομεν" καὶ ἐπὶ αἰτιατικῆς ὁ αὐτὸς ἐν Φίλοις (fr. 270)· „⟨εὐφρανῶ δὲ νώ⟩" (supplevi ex Apoll. Dysc., v. infra testes). νῷν· ἔχει τὸ ι ὡς καὶ τὸ σφῷν· ἐν συναιρέσει [ ] †αγυνε† Ἀττικῶς, καὶ ἴσως τὸ χαρακτηριστικὸν τῆς δοτικῆς ἔχει τὸ ι. Σοφοκλῆς Ἰοβάτῃ (fr. 297 R.)· „κα[ὶ] νῷν τι σῆμα λαμπρὸν ἐνδεῖξαι βίου". ὁ μέντοι ποιητὴς τῷ μετὰ τοῦ ν ἀεὶ δ[ι]συλλάβως ἐχρήσατο.
b) Ori Orth. (vel Choerob. Orth. ex Ori Orth.) in Et. Gen. (AB) v. ἐπὶ νῷν (Reitzenstein: νῶϊ B, νώτης A)· ἀντὶ τοῦ ἐφ' ἡμῖν. σὺν τῷ ι παρὰ Λυσίᾳ (p. 370,21 Th.), ὡς Ὧρος λέγει. εἴρηται εἰς τὸ νώ (cf. infra testes!).
μονοσύλλαβα e.g. supplevi, cf. fr. B 140

Lucian. soloec. 6 p. 169,9 πρὸς γοῦν τὸν εἰπόντα, Νῶϊ τοῦτο δοκεῖ, Σύ, ἔφη, καὶ νῶϊν ἐρεῖς ὡς ἁμαρτάνομεν, sch. ad loc. p. 38,21 τὸ γὰρ νῶι εὐθείας καὶ αἰτιατικῆς, ἀλλ' οὐ γενικῆς καὶ δοτικῆς, τὸ δὲ 'δοκεῖ' δοτικὴν ἀπαιτεῖ. καλῶς οὖν παίζων αὐτὸν εἴρηκεν

ὡς· „σὺ καὶ νῶιν ἐρεῖς, ὡς ἁμαρτάνομεν", ἀντιστρέψας τὴν σύνταξιν 'ἡμῖν ἐρεῖς, ὡς ἁμαρτάνομεν'· ἔδει γὰρ εἰπεῖν 'νῶι ἁμαρτάνομεν, ἐρεῖς', τουτέστιν ἡμᾶς, ἀλλ' οὐχ ἡμῖν, Moer. 204, 1 νώ δυϊκῶς Ἀττικοί, ἡμεῖς Ἕλληνες, id. 204, 2 νῷν, μὴ συνεκφωνουμένου τοῦ ι, ἡμῖν, Tim. 155 νῷ· ἡμεῖς et ibid. νῶϊν· ἡμῖν (cf. Ruhnken ad loc.), Apoll. Dysc. pronom. 85, 12 (cf. sch. δ 62) αἱ δυϊκαὶ κατὰ πρῶτον καὶ δεύτερον πρόσωπον πάσης πτώσεως μόνως ὀρθοτονοῦνται· καὶ ἡ αἰτία εἴρηται. εὐθείας μὲν καὶ αἰτιατικῆς κοινῶς, νῶι, σφῶι. Ἀττικαὶ δὲ τῶν αὐτῶν πτώσεων νὼ καὶ σφώ, αἷς καὶ ὁ ποιητὴς προσχρῆται „νὼ ἀναβησάμενοι" (ο 475), „σφὼ δὲ μάλ' ἠθέλετον" (Λ 782)· γενικῆς καὶ δοτικῆς νῶιν ⟨καὶ⟩ σφῶιν. μονοσυλλάβως Εὔπολις Μαρικᾷ (fr. 188)· „νὼ γάρ, ἄνδρες, οὐχ ἱππεύομεν", καὶ ἔτι ἐν Φίλοις (fr. 270)· „εὐφρανῶ δὲ νώ", ibid. 86, 10 αἱ Ἀττικαὶ κατὰ τὴν εὐθεῖαν ὀξυτόνως ἀνεγνώσθησαν παρὰ τῷ ποιητῇ καὶ ἅπασι τραγικοῖς τε καὶ κωμικοῖς, αἵ τε γραφαὶ οὐκ ἔχουσι το ι προσκείμενον κτλ. (unde sch. δ 62 et E 219 pars posterior, cf. Erbse ad loc. et Beitr. 85), cf. sch. A 574a; cf. Et. Gen. (AB) v. νώ (unde EM 609, 42 et Zon. 1411), cuius glossae pars prior e sch. E 219 derivata est (cf. Erbse ad loc.), partem posteriorem e Choerob. Orth. desumptam esse censuit Hilgard, praef. ad Gramm. Graec. IV p. LXXIX, 33, fortasse recte (Choerob. ex Ori Orth. hausit), cf. etiam Et. Gen. (B) v. νῷν σφῷν (unde Et. Sym. ap. Gaisford ad EM p. 1734 B; Zon. 1411, cf. EM 610, 7).

109

ξῆναι ⟨χρὴ λέγειν, οὐ ξᾶναι⟩, καὶ θερμῆναι, ἰῆναι, σημῆναι ⟨καὶ τὰ ὅμοια οὕτως⟩.

Ori Orth. (Lex. Mess. 407) ξῆναι ὁ ἀόριστος ἀπὸ τοῦ ξαίνω οὐκ ἔχει τὸ ι, ὥσπερ οὐδὲ τὸ θερμῆναι, ἰῆναι, σημῆναι· προείρηται δέ (sc. s. v. θερμῆναι vel ἰῆναι); Orus hanc gl. e Voc. Attic. collectione transscripsit.

1–2 textum e. g. refinxi

Phryn. ecl. 15 F. = 16 R. σημᾶναι ἐσήμαναν καὶ θερμᾶναι ἐθέρμαναν καὶ καθᾶραι ἐκάθαραν· καὶ ταῦτα παρὰ τὴν ἀρχαίαν χρῆσιν διὰ τοῦ α· λέγομεν δὲ διὰ τοῦ η σημῆναι, καθῆραι, θερμῆναι, id. 17 F. = 17 R. ἐφλέγμανε, φλεγμᾶναι· διὰ τοῦ η καὶ ταῦτα λέγεται, id. P. S. 108, 10 σημῆναι καὶ ἐσήμηνα ἐρεῖς ἀντὶ τοῦ σημᾶναι καὶ ἐσήμανα. ὡσαύτως φῆναι καὶ ἀποφῆναι καὶ προφήνας, καὶ ἐθέρμηνα καὶ θερμήνας, καὶ ἐτεκτήνατο, τεκτήνασθαι, καὶ ἐμήνατο, μήνασθαι καὶ ἐκμῆναι. καὶ διὰ τοῦ ρ ἐχθήρας καὶ ἐκάθηρας. καὶ διὰ τοῦ λ ἔσφηλα καὶ σφήλας, Moer. 195, 20 ἐρρύπηνα ἐκάθηρα Ἀττικοί, ἐρρύπανα ἐκάθαρα λέγουσιν Ἕλληνες, id. 211, 10 ὑφηναμένη Ἀττικοί, ὑφάνασα Ἕλληνες, Thom. 399, 18 χλιήνας Ἀττικοί, οὐ χλιάνας. cf. Lobeck ad Phryn. p. 24 sqq., Meisterhans – Schwyzer § 67, 6, Blass – Debrunner § 72.

110

ξηρὸν καὶ αὗον, ἑκατέρως.

Σ (Phot. 309, 9)

ἑκατέρως: cf. praef. p. 68.

111

ξύν· Θουκυδίδης (passim) ἀντὶ τοῦ σύν, καὶ τὰ ἄλλα τὰ ὅμοια· οὕτως καὶ οἱ παλαιοὶ πάντες.

Σ (Phot. 311,7; Suid. ξ 111), Ael. D. (ξ 4) tribuit Wentzel, Hermes 30, 1895, 378 (propter locum Thucydidis laudatum)

καὶ τὰ ἄλλα τὰ ὅμοια: cf. fr. B 103.
cf. Σ (Phot. 310,21) ξυμβαθῇ συμβαθῇ (ξύμβαθι· σύμβαθι cod.: corr. Naber, coll. Thuc. 4,30,4)· ὅλως δὲ ὁ διὰ τοῦ ξ σχηματισμὸς κοινός ἐστι τῶν τε Ἰώνων καὶ τῶν Ἀττικῶν, Moer. 204,15 ξυμφώνως Ἀττικοί, συμφώνως Ἕλληνες καὶ κοινῶς, id. 204,16 ξυνωρὶς Ἀττικοί, συνωρὶς Ἕλληνες, id. 204,17 ξύμμαχοι Ἕλληνες καὶ κοινῶς, Thom. 253,4 γίνωσκε ὡς οἱ Ἀττικοὶ τὴν σὺν πρόθεσιν ξὺν λέγοντες τῷ σ προστιθέασι τὸ κ· τὸ γὰρ κ τῷ σ κραθὲν ξ γίνεται, οἷον συναυλία ξυναυλία, συμφέρει ξυμφέρει, καὶ ὅσα τοιαῦτα, cf. Phot. 311,14 ξύνες· λέγουσι καὶ σύνες. cf. Meisterhans – Schwyzer § 85,46, Croenert 95.

112

ξυρεῖσθαι· οὐδὲ ξυρᾶσθαι λέγουσιν.

Σ (Phot. 313,1)

Choerob. comm. in Theod. II 163,26 (unde AO IV 420,12) . . . ξυρῶ ξυρήσω· τοῦτο δὲ ὁ μὲν Φιλόπονος πρώτης συζυγίας φησίν, οἷον ξυρῶ ξυρεῖς, ὁ δὲ Ἡρωδιανὸς (II 779,9) δευτέρας, οἷον ξυρῶ ξυρᾷς, Sophron. exc. e Characis comm. in Theod. 424,26 ξυρῶ ξυράσω, Ἀττικοὶ δὲ ξυρήσω, cf. Choerob. Epim. in Ps. 22,22 . . . καὶ τὰ διφορούμενα κατὰ τὰς συζυγίας διὰ τοῦ η ἔχει τὸν μέλλοντα, οἷον ξυρῶ ξυρεῖς ξυρᾷς ξυρήσω (unde EM 129,46), Thom. 251,10 ξυρέω ξυρῶ Ἀττικοί, οὐ ξυράω ξυρῶ κτλ., cf. Hrd. Philet. 209 ξυρεῖν περισπωμένως· καὶ ξυρήσω ὁ μέλλων, ὡς ἀπὸ τοῦ νοῶ νοήσω, Antiatt. 109, 32 ξύρεσθαί φασι λέγειν καὶ ξυρόμενον. cf. Lobeck. ad Phryn. p. 205, id. ad Soph. Aiac. p. 181.

113

a) ὀβολοστάτης· δανειστὴς ἐπ' ἐνεχύροις· στήσασθαι γὰρ τὸ δανείσασθαι.

b) . . . ὁ δὲ Ὦρος λέγει, ὅτι τὸ στήσασθαι δανείσασθαι δηλοῖ· ὀβολοστάτης οὖν ὁ τὰ μικρὰ δανείζων φίλοις.

---

a) Σ (Phot. 314,20)

b) Et. Gen. (AB; EM 613,20; Et. Sym.) v. ὀβολός (cf. praef. p. 58)
1 τὸ om. B | στήσασθαι A, cf. **a)**: στῆσαι B, EM, Et. Sym. 2 οὖν] δὲ B | φίλοις] τοῖς φίλοις Reitzenstein | post φίλοις (φιλ) add. φῖ A (φιλόξενος dubitanter Reitzenstein, qui quidem in schedis suis statim adnotavit „nisi forte e dittographia natum" [cf. Gesch. 59 app. ad vs. 7], quam sententiam probaverunt G. Wentzel et A. Adler; Philoxeno fr. 557 tribuit Ch. Theodoridis, haud scio an non recte, cf. supra praef. p. 58 n. 20)

---

cf. praef. p. 58sqq. et infra fr. B 151.
Harp. 134,14 (unde Phot. 314,12; Suid. ο 9; AO II 497,12) ὀβολοστατεῖ ἀντὶ τοῦ δανείζει (ὀβολοστατοῖ – δανείζοι Phot., AO II 497,12) Λυσίας ἐν τῷ κατὰ Νικίδου (fr. C), εἰ γνήσιος. ἐν δὲ τῷ πρὸς Λακράτην (fr. LXXXIII, 60) διασαφῶν φησιν· „οὐδ᾽ ἂν εἰ πολὺ (οἱ πολλοὶ Phot. Suid.) ἐλάττονα τόκον λογίσαιτό τις ἢ ὅσον οὗτοι οἱ (οἱ om. Phot., Suid.) ὀβολοστατοῦντες τοὺς ἄλλους πράττονται." ὀβολοστάτας δ᾽ ἔλεγον (ἔλ. δὲ ὀβ. Phot., Suid.) τοὺς δανειστάς, ὡς παρά τε Ὑπερίδῃ (ὡς Ὑπερίδης Phot., Suid.) ἐν τῷ κατὰ Πολυεύκτου (fr. 154; ἐν – Πολ. om. Phot., Suid.) καὶ πολλάκις ἐν τῇ κωμῳδίᾳ (καὶ ἡ κωμῳδία Phot., Suid.), Hsch. ο 22 ὀβολοστάτης· ὀβολοστάτας τοὺς δανειστὰς ἔλεγον. ἐδίδουν δὲ σταθμῷ οἱ δανείζοντες· διὸ ὀβολοστάται προσηγορεύθησαν. τινὲς δὲ τὸ δανείζειν ἱστάνειν φασίν, id. ο 23 ὀβολοστατεῖν· δανείζειν, Poll. 3,112 ὀβολοστάτης, καὶ ἡ γυνὴ ὀβολοστάτις, id. 3,113 ὀβολοστατεῖν, Bk.[V] 286,31 ὀβολοστάτης· ὁ τοκογλύφος λεγόμενος (unde EM 613,22), id. 286,32 ὀβολοστατῆσαι· τόκους λαβεῖν (unde Phot. 314,22; EM 613,22), sch. Aeschin. 1,39 ... καὶ ἐκ τῶν πλουσίων τριάκοντα ᾑρέθησαν ὀβολοστάται, ὅ ἐστι δανεισταὶ ἐπὶ ὀβολῷ τὴν μνᾶν δανείζοντες, Et. Gen. (AB, EM 725, 11) v. στατήρ· ... ὀβολοστάτας γοῦν (οὖν B) οἱ Ἀττικοὶ τοὺς ὀλίγα δανείζοντας ἔλεγον ὑπερβολικῶς, Hsch. σ 1835 Schm. στήσασθαι· τὸ δανείσασθαι οὕτως ἔλεγον. ἐπὶ σταθμῷ γὰρ πάλαι ἐδάνειζον. καὶ στάσιμον τὸ δεδανεισμένον, id. σ 1642 Schm. στασάμενον· δανεισάμενον, id. ε 6370 ἔστασαν· ἐδάνεισαν σταθμῷ.

114

ὀδαγός· διὰ τοῦ α, οὐχ ὁδηγός.

Σ (Phot. 315,9)

cf. fr. A 32.
Hsch. ο 62 ὀδαγός· ὁδηγός. Lobeck ad Phryn. p. 429, Porson ad Eur. Or. 26, Buck – Petersen, A reverse index of Greek nouns and adjectives, Chicago sine anno, p. 626.

115

Ὀδυσσέα· ἡ ἐσχάτη μακρά, καὶ τὰ ὅμοια.

Σ (Phot. 316,14)

καὶ τὰ ὅμοια: cf. praef. p. 66.
v. ad fr. B 132.

116

ὄζειν· οὐ μόνον τὸ ὀδωδέναι λέγουσιν.

Σ (Phot. 316,18)

Antiatt. 110,23 ὄζειν οὔ φασι δεῖν λέγειν, ἀλλ᾽ ὀδωδέναι. καὶ ὀδμήν, οὐχὶ ὀσμήν, Poll. 2,75 ... ὄζει, ὄδωδεν, Ἀριστοφάνης (Vesp. 1059) δὲ καὶ ὀζήσει εἴρηκεν.

117

οἰκῖδιον· τὴν δευτέραν συλλαβὴν ἐκτείνουσιν, ὡς καὶ χρυσίδιον καὶ τὰ ὅμοια.

Σ (Phot. 319, 1)

καὶ τὰ ὅμοια: cf. praef. p. 66, fr. B 85.
Hanc mensuram praebet Ar. Nub. 92 ὁρᾷς τὸ θύριον τοῦτο καὶ τῳκίδιον. cf. Kuehner-Blass 2, 278.

118

οἰσυπηρά· οἷον· οἰσυπηρὰ ἔρια (cf. Ar. Ach. 1177), τὰ ῥυπαρά. καὶ οἴσυπον λέγομεν. ἀλλ' Ἀριστοφάνης ἐν Λυσιστράτῃ οἰσπώτην εἴρηκεν (574–76)·

„πρῶτον μὲν ἐχρῆν ὥσπερ πόκον ἐν βαλανείῳ
5 ἐκπλύναντα τὴν οἰσπώτην ἐκ τῆς πόλεως ... ἀπολῦσαι."
οὐκ εὖ δὲ τὸ μαρτύριόν τινες παρατίθενται. ἔστι γὰρ οἰσπώτη τὸ τοῦ προβάτου διαχώρημα. ἐν δὲ Ὁλκάσι (fr. 400)·
„βαβαί, Λάκων· ὡς ἀμφοτέρων ὑμῶν ἄρ' ἦ⟨ν⟩
τὰ πράγματα οἰσυπηρὰ καὶ βαρύσταθμα."
10 ἔστιν οὖν οἴσυπος οἴσρυπος, οἰὸς ῥύπος, καὶ ὡς οἶνος οἰνηρός, ὁμὸς ὅμηρος, οὕτως οἴσυπος οἰσυπηρός.

Et. Gen. (AB), Ori nomine in fine addito (cf. infra), unde EM 619, 12 et Et. Sym. (cf. Gaisf. ad. EM). Quo ex libro Ori hauserit Et. Gen. ignotum (non ex ipsa Vocum Attic. collectione); apparet tamen Orum in libro, ex quo Et. Gen. hausit, illa, quae antea in Voc. Attic. collectione scripserat, diligenter et eisdem verbis reddidisse.
1 οἰσυπηρά· οἷον A, om. B | οἰσυπηρὰ alter. B, οἰσηπηρὰ A 2 λέγομεν A, λ' B, λέγουσι EM | οἰσπότην (et ita constanter) A 5 ἐκπλύναντα B, ἐκπλύνοντα A, Et. Sym.: ἐκπλύναντας Ar. | ἀπολῦσαι] ἀπολέξαι Ar. cod. Γ, ἀπολέσαι cod. R 6 τὸ τοῦ A, τοῦ B 8 βαβαί, λάκων Miller: βαβελάκων AB | post λάκων interpunxit A, non B | ἄρ' ἦν scripsi (cf. ZPE 30, 1978, 40): ἄρη A (spiritum legit Consbruch; in imagine lucis ope expressa utrum ἅ. an ἄ. scriptum sit discerni nequit), ἁρη B (nequaquam τριvὴ quod dedit Miller) 10 οἴσυπος οἴσρυπος A | ὁμὸς A, ὅμος B 11 post οἰσυπηρός subscriptionem add. ωρ°A, ф B

Ori fons esse videtur Didymi Κωμικὴ λέξις (cf. gl. Hsch. o 409 infra allatam). cf. Poll. 7, 28 ἔρια οἰσυπηρὰ Ἀριστοφάνης (Ach. 1177), id. 5, 91 προβάτων (sc. κόπρον λέγουσι) οἰσπώτην, Phryn. P.S. 96, 21 οἰσυπηρά (de Borries: οἰσωπηρά cod.)· δεῖ λέγειν τὰ ῥυπαρὰ καὶ ἄπλυτα ἔρια. παρὰ τὸν οἴσυπον οἰσυπηρά (οἴσωπον οἰσωπηρά cod.: οἰσωπ. οἰσυπ. non bene de Borries), ὡς παρὰ τὸν ὄλισθον ὀλισθηρά, id. 98, 7 οἰσπώτη· τὸ τῶν προβάτων ἀποπάτημα. τὸ δὲ τῶν αἰγῶν σφυράδες, ἐπεὶ ὥσπερ σφυρά ἐστιν συμπεπλεγμένα, Moer. 205, 23 οἰσυπηρὸν ἔριον Ἀττικοί, ῥυπαρὸν Ἕλληνες, Cyr. (unde Hsch. o 421) οἰσύπειον· ἔριον ῥυπαρὸν προβάτων. τὸ αὐτὸ οἰσυπηρόν, cf. Hsch. o 422 οἴσυπος· ὁ τῆς οἰὸς ῥύπος, Thgnst. AO II 24, 13 οἴσυπος· ῥύπος, Σ (Ba. 315, 13 = Phot. 324, 8 = Suid. οι 185) οἰσύπη· ὁ ῥύπος τῶν ἐρίων, ibid. (Ba. 315, 14 = Phot. 324, 9 = Suid. οι 186 pars

prior) οἰσυπηρός· ῥυπαρός , Psellus, Χρῆσις σπανίων ὀνομάτων ap. Boissonade, An. Gr. III 223, vs. 419 οἰσυπηρὸς ὁ ῥυπαρός, οἰσύπη γὰρ ὁ ῥύπος (unde Zon. 1789 s. v. ὑσοίπη), Zon. 1435 (e lex. Ambros., ut videtur) οἰσυπηρόν· ῥυπαρόν, gl. Hdt. 216,6 LGM οἰσύπη· ῥυπαρὰ προβάτων ἔρια, ibid. 205,15 (unde Suid. οι 176) οἴσπη· ῥυπαρῶν προβάτων ἔρια (gl. pertinet ad Hdt. 4,187,2, ubi οἰσύπῃ codicum familia d, οἴσπῃ cod. A), cf. Hsch. ο 403 οἴσπη· προβάτων κόπρος, ῥύπος. De vocibus οἴσυπος οἰσπώτη male confusis cf. Hsch. ο 409 οἰσπώτη (οἰσπωτή Schmidt, Latte, de accentu vide infra)· τῆς οἰὸς ὁ ῥύπος. ὁ δὲ Δίδυμος (lex. com. fr. 8 p. 35 Schmidt) τὸν τῶν προβάτων (***) (κόπρον add. Salmasius [qui quidem etiam τὴν pro τὸν scribere debebat], de ὄνθον cogitavit Schmidt), Phot. 323,24 οἰσπώτη· οἰῶν ῥύπος· οἴσυπος. Ἀριστοφάνης Λυσιστράτῃ (574–76)· „ἐκπλύναντας τὴν οἰσπώτην ἐκ τῆς πόλεως †ἐπικλίνη† (cod.: ἐπικλινεῖς Naber: ἐπὶ κλίνης Ar.), sch. Ar. Lys. 575 τὴν οἰσπώτην: τοῦ ἐρίου ὁ ῥύπος οἰσπώτη λέγεται (hinc Suid. οι 176 pars posterior). καὶ Κρατῖνος Διονυσαλεξάνδρῳ (fr. 39)· „οὔκ, ἀλλὰ βόλιτα χλωρὰ κῴσπώτην πατεῖν", sch. Ar. Ach. 1177a οἰσυπηρὰ δὲ ῥύπου πεπληρωμένα. οἰσύπη δέ ἐστι τὸ διαχώρημα τῶν προβάτων (hinc Suid. οι 186 pars posterior), Erot. 68,1 οἰσύπη αἰγός· οἰσύπη κυρίως λέγεται τὸ διαχώρημα τοῦ προβάτου. καὶ γὰρ ὄϊς τὸ πρόβατον. πλὴν αὐτὸς καταχρηστικῶς οἰσύπην ἐκάλεσε καὶ τὸ τῆς αἰγὸς διαχώρημα, διὰ τοῦτο καὶ οἰσυπηρὰ ἔρια τὰ μετέχοντα τῆς οἰσύπης ἢ τοῦ οἰσύπου. ἑκατέρως γὰρ λέγεται, cf. Gal., gloss. 19,125,7 K. οἴσπη αἰγός· ὁ παρὰ ταῖς θριξὶ καὶ μάλιστα ταῖς κατὰ τὴν ἕδραν συνεστραμμένος ῥύπος (de textu v. Helmreich, Handschriftliche Verbesserungen zu dem Hippokratesglossar des Galen, Sitzungsber. der kgl. preuß. Akad. d. Wiss. 1916, p. 208), ibid. 125,12 οἰσυπίδας· προβάτου ῥύπον συνεστραμμένον, δηλοῖ δὲ καὶ ἐρίου ῥυπαροῦ μαλλόν (de textu v. Helmreich, loc. laud.). Eust. 1809,24 ὡς γὰρ οἶνος οἰνηρός, οἴσυπος οἰσυπηρός, ἐξ οὗ ἔρια οἰσυπηρὰ τὰ ῥυπώδη, οὕτω, φασίν, ἐκ τοῦ ὁμὸς Ὅμηρος. Aliter Et. Gen. (B: om. A), unde EM 619,10 et Et. Sym. (cf. Gaisf. ad EM) v. οἰσπώτη· ὁπλὴ προβάτων. ἐκ τοῦ οἶς καὶ τοῦ πατῶ οἰσπάτη, τροπῇ τοῦ α εἰς ω. – Vulgo οἰσπώτη traditur; apud Hsch. ο 409 cod. οισποτιτης praebet, pro quo οἰσπωτή τῆς scripserunt Schmidt et Latte Herodianum (I 343,28), id est Arcadium 131,20, secuti, ubi docetur τὰ εἰς τη ὑπερδισύλλαβα τῷ ω παραληγόμενα βαρύνεται. ... τὸ μέντοι μηλωτὴ κηρωτὴ ὀξύνεται καὶ οἰσπωτὴ ὁ ῥύπος (ita codd.: οἰσπώτη ci. Schmidt); de regula cf. etiam Thgnst. AO II 117,31 et Anon. Orthogr. AO II 327,28, in universum Lobeck, Pathol. serm. Graeci proleg. 393.

119

ὀλάς· οὐχὶ οὐλὰς λεκτέον.

Σ (Phot. 327,1)
οὐλὰς Cobet (Mnem. 8,1859,20): ἄλας cod.

Poll. 1,27 οὐλὰς ἐπιβαλεῖν (ubi ὀλὰς M, ἄλας C, ἄλλας V). cf. Meisterhans–Schwyzer § 11,23

120

ὄμνυθι καὶ ἔκδυθι καὶ τὰ ὅμοια διὰ τοῦ θι.

Σ (Phot. 332,16)

καὶ τὰ ὅμοια: cf. praef. p. 66.
Phryn. P. S. 72,3 ἔνδυθι· Ἀττικὴ κλίσις ἀπὸ τῶν εἰς μι.

121

ὀμνύναι καὶ ὀμνύειν· διττῶς λέγουσιν, μᾶλλον δὲ διὰ τοῦ ναι· καὶ ζευγνύναι καὶ τὰ ὅμοια. τὸ δὲ ἱστάναι μόνως οὕτως, ἀλλ' οὐχ ἱστάνειν.

Σ (Phot. 332,13)

καὶ τὰ ὅμοια: cf. praef. p. 66; μᾶλλον δὲ: cf. fr. A 30. cf. supra fr. B 22; 35; 36.
Poll. 1,38 ὅρκον ὀμνύειν, ὀμνύναι; contra disputat Phryn. P.S. 10,22 ἀπολλύασιν· ὥσπερ δεικνύασι καὶ ὀμνύασι. Ἀττικῶς ἀντὶ τοῦ ὀμνύουσι καὶ δεικνύουσι καὶ ἀπολλύουσι; Moer. 205,1 ὀμνύναι Ἀττικοί, ὀμνύειν Ἕλληνες, id. 204,35 ὀλλύασιν ὀμνύασιν Ἀττικοί, ὀλλύουσιν ὀμνύουσιν Ἕλληνες, id. 197,21 ζεύγνυμι Ἀττικοί, ζευγνύω Ἕλληνες, id. 197, 28 ζευγνῦσιν Ἀττικοὶ πληθυντικῶς καὶ προπερισπωμένως, ζευγνύουσιν Ἕλληνες. τὸ δὲ ζευγνύασιν τῆς δευτέρας Ἀτθίδος (unde Thom. 168,13), cf. id. 194,29, Lucian. soloec. 7, p. 169,29 ἀφιστᾶν δέ τινος εἰπόντος καὶ ἑτέρου ἀφιστάνειν, ⟨***⟩ μέν, ἔφη, οὐκ οἶδα, Phryn. P. S. 89,4 μεθιστάναι καὶ ἱστάναι· οὐχὶ μεθιστάνειν καὶ ἱστάνειν, Moer. 200,1 ἱστάναι Ἀττικοί, ἱστάνειν Ἕλληνες, unde Thom. 186,7; Hrd. Philet. 201 καθιστᾶν οὐ λέγουσιν, ἀλλὰ καθιστάναι· καὶ γέγονεν ἀπὸ τοῦ καθίστημι, id. 316 ἱστάναι καὶ συνιστάναι, οὐχὶ συνιστᾶν, Thom. 256,5 ὄμνυμι, οὐκ ὀμνύω. cf. Cobet, Mnem. 5, 1856, 104, Meisterhans–Schwyzer § 76,15, Blass–Debrunner § 92, Croenert 239 n. 1, Fritz, Synesius 62 sqq.

ὀξύβαφον = A68b

122

ὀξυθυμεῖσθαι, οὐχὶ ὀξυθυμεῖν λέγουσι τὸ ὀργίζεσθαι ἀκραχόλως.

Σ (Phot. 340,19)

Poll. 2,231 ὀξύθυμος καὶ ὀξυθυμίας καὶ ὠξυθυμήθη παρ' Ἀριστοφάνει (fr. 894), cf. Ar. Vesp. 501 (ὀξυθυμηθεῖσα), id. Thesm. 466 (ὀξυθυμεῖσθαι); activum exstat apud Eur. Androm. 689 (ὀξυθυμῇς codd., ὀξυθυμῇ Blaydes).

123

ὁρκίζειν καὶ ὁρκοῦν· ἑκατέρως.

Σ (Phot. 347,21)

ἑκατέρως: cf. praef. p. 68.
Grammaticus apud Reitzenstein, ind. lect. Rostoch, 1892/93 p. 5 gl. 17 (e cod. Vatic. gr. 12) ὁρκίσαι· Ξενοφῶν ἐν συμποσίῳ λέγει (4,10, ubi ὁρκίζοντος), Λυσίας δὲ 'ἐξώρκισε' (cod. ἐξώρκησε; verbum non Lysias, sed Harpocratio 34,3 in glossa Lysiana Ἄρδηττος

[Lys. fr. 157 Sauppe = fr. LXXXIV Thalheim] adhibuisse videtur). Ξενοφῶν δὲ ⟨καὶ⟩ (suppl. Reitzenstein) διὰ τοῦ ⟨ω⟩ (suppl. Reitzenstein) ὁρκῶσαι (Hellen. 6,5,3; ὥρκωσε cod., corr. Reitzenstein) λέγει καὶ ⟨***⟩ (lac. statuit Reitzenstein) ἐξορκῶσαι (-ωσε cod., corr. Reitzenstein). καὶ ἔστι τοῦτο πολύ. Contra disputat Phryn. ecl. 337 F. = 338 R. „ὥρκωσε καὶ ὁρκωτὴς δ' ἐγώ". οὕτω Κρατῖνός φησιν (fr. 366). μᾶλλον δὲ διὰ τοῦ ω λέγε ἢ διὰ τοῦ ι, ὥρκισεν, cf. Poll. 1,38,39 (ὁρκοῦν), id. 4,30 (ὁρκίζειν). cf. Lobeck ad Phryn. p. 360 sqq.

124

ὁρκωτάς· οὐχὶ ὁρκιστάς, οὐδὲ ὁρκωμότας λέγουσιν.

Σ (Phot. 347,28)
ὁρκωτάς Naber: ὁρκωντας cod.

Phryn. ecl. 337 F. = 338 R. (cf. supra ad fr. B 123), Poll. 1,38 ὁρκωμότας (om. codd. ABCM).

125

ὀρροπύγιον· οὕτως καὶ οἱ Ἴωνες· ὀρθοπύγιον δὲ παρ' οὐδενὶ τῶν Ἑλλήνων.

Σ (Phot. 350,3)
1 ante lemma ὄρρος· τράμις καὶ ... (Phot. e Diog., cf. Hsch. ο 1316).

παρ' οὐδενὶ τῶν Ἑλλήνων: cf. fr. A 12.
Poll. 2,182 ... ἱερὸν ὀστοῦν, ... ἀποστενοῦται δὲ κατὰ τὸν κόκκυγα καλούμενον, ὃς καὶ σφονδύλιον καὶ ὀρροπύγιον ὀνομάζεται, Erennius Philo apud Eust. 906,59 ὄρος δὲ οὐ μόνον γῆς ὑψηλὸν συνήθως ἐπανάστημα, ἀλλὰ καὶ ὁ περὶ τοὺς γλουτοὺς τόπος, ὃν τινες ταῦρόν φασιν, ὡς Ἐρέννιος Φίλων ἐν τῷ Περὶ διαφόρων σημαινομένων, ὅθεν καὶ τῶν ὀρνέων ὁ τόπος, φησίν, οὗτος οὐροπύγιον καλεῖται ... καὶ ὀροπύγιον, praeterea 1871,44 ὀρρωδεῖν μὲν γὰρ καὶ ὀροπύγιον ὀρνέων, οὐ μὴν κατά τινας ὀρθοπύγιον, ἀνάλογον καὶ κοινότερον, ex Erennio Amm. 80 ... ὅθεν καὶ τῶν ὀρνέων ὁ τόπος οὗτος ὀρροπύγιον καλεῖται, οὐχ, ὥς τινες ἀγνοοῦντες, ὀρθοπύγιον, Moer. 205,5 ὀρροπύγιον Ἀττικοί, ὀρθοπύγιον Ἕλληνες, Cyr. ορρ 6 (unde Hsch. ο 1315) ὀρροπύγιον· τὸ ὀρθοπύγιον (AS, τὸ om. S, Hsch.). cf. Meisterhans–Schwyzer § 36,8, Croenert 133 n. 4.

126

ὀστοῦν· δισυλλάβως, οὐκ ὀστέον λέγουσιν οἱ Ἀττικοί.

Σ (Phot. 353,13)

---

cf. fr. B 42.
Moer. 205,10 ὀστοῦν Ἀττικοί, ὀστέον Ἕλληνες, unde Thom. 257,12 ὀστοῦν, οὐκ ὀστέον. cf. Croenert 166 n. 4, Blass–Debrunner § 45, Kuehner–Blass 1,402, Fritz, Synesius 28.

127

οὐχὶ καὶ ναιχί· ⟨***⟩ Ἑλληνικά.

Σ (Phot. 363, 17)
lac. statui, supplendum ἄμφω vel ἀμφότερα

Cyr. ναι 13 (unde Hsch. ν 40) ναιχι· ναι Αττικως (vg AS), ὥσπερ και το ουχι ου σημαινει (g). cf. W. Schulze, Kl. Schr. 706, Blass–Debrunner § 432.

128

παλαιότερον· καὶ ἄνευ τοῦ ο λέγουσι· καὶ τὸ ὑπερθετικὸν παλαίτατον.

Σ (Phot. 371, 6)
2 παλαίτατον Porson: παλαίτερον cod.

Philox. fr. 334 (in Et. Gen. v. γεραίτερος, unde EM 227, 24) . . . παρὰ τὸ γεραιὸς γίνεται γεραιότερος, ὡς παλαιὸς παλαιότερος, καὶ κατὰ συγκοπὴν γεραίτερος, cf. Choerob. comm. in Theod. II 76, 25 . . . παλαιότερος, παλαιότατος, cf. Kuehner–Blass 1, 559.

129

παρανεῳγμένης τῆς θύρας ⟨***⟩. Ἀριστοφάνης Λημνίαις (fr. 14 Dem. = 362a Edm.).

Ori Orth. (lex. Mess. 409) παρ]ανεῳγμένης τῆς θύρ[ας· σὺν τῷ ι] (supplevit Rabe). Ἀριστοφάνης Λημνίαις. Hanc glossam ab Oro e suo ipsius libro Vocum Attic. collectione transscriptam esse perspexit Reitzenstein, Gesch. 298.
1 lac. hunc in modum fere supplenda: ⟨καὶ παρεῳγμένης, ἑκάτερα Ἑλληνικά⟩

